## Sur le livre VI.

### Ἐκ τοῦ ζῆτα τῆς φυσικῆς ἀκροάσεως.*

Ὅτι ἐξ ἀδιαιρέτων οὐκ ἔστι σύνθεσις καὶ συνάφεια ὥστε γίνεσθαι τὸ συνεχὲς ἐξ αὐτῶν· οὔτε γὰρ ἐκ στιγμῶν γίνεται γραμμή, οὔτε ἐκ τῶν νῦν χρόνος, συντιθεμένων· οὔτε γὰρ πέρας οὔτε μόριον στιγμῆς, ἀδιαιρέτου οὔσης καὶ ἀμεροῦς, καὶ οὔτε συνεχεῖς αἱ γραμμαί, διὰ τοῦτο οὔτε ἁπτόμεναι ἀλλήλων, οὔτε ἐφεξῆς ἀλλήλαις εἰσίν· ὁ δ' αὐτὸς καὶ περὶ τοῦ νῦν λόγος, ἀλλ' οὐδ' ἐκ κινημάτων κίνησις γίνεται. Ὥσπερ οὖν οὐ συντίθεται ἐξ ἀδιαιρέτων τό τε μέγεθος ἥ τε κίνησις καὶ ὁ χρόνος ἤγουν ἐκ στιγμῶν καὶ κινημάτων καὶ τῶν νῦν, οὕτως οὐδ' εἰς αὐτὰ διαιροῦνται, ἀλλ' εἰς συνεχῆ μόνον ἤτοι ἀεὶ διαιρετά. Καὶ ταῦτα δείκνυσι καταγραφαῖς καὶ στοιχείοις.

Ὅτι τὸ θᾶττον κινούμενον ἐν τῷ αὐτῷ καὶ ἴσῳ χρόνῳ πλέον κινεῖται διάστημα τοῦ βραδύτερον κινουμένου, καὶ ἐν ἐλάττονι χρόνῳ ἴσον κινεῖται μέγεθος τῷ βραδύτερον κινουμένῳ, ἔτι γε μὴν καὶ ἐν ἐλάττονι χρόνῳ τὸ θᾶττον ἐνίοτε πλεῖον μέγεθος κινεῖται ἢ τὸ βραδύτερον ἐν πλείονι χρόνῳ. Ἀποδείκνυσι δὲ καὶ ταῦτα διὰ στοιχείων ἐν καταγραφαῖς.

Ὅτι τοῦ χρόνου, συνεχοῦς ὄντος καὶ διαιρετοῦ εἰς ἀεὶ διαιρετά, ὁμοίως δὲ καὶ τοῦ μεγέθους τὸ μὲν θᾶττον διαιρεῖ τὸν χρόνον, τὸ δὲ βραδύτερον διαιρεῖ τὸ μέγεθος.

Ὅτι εἰ ὁποτερονοῦν τῶν δύο, εἴτε τὸ μέγεθος ἄπειρον, εἴτε ὁ χρόνος ἐν ᾧ ἡ κίνησις, καὶ τὸ ἕτερον ἄπειρον ἔσται, καὶ καθὼς ἐστι θάτερον τῶν δύο ἄπειρον, οὕτως ἄρα καὶ θάτερον, οἷον εἴτε τοῖς ἐσχάτοις ἔχει τὴν ἀπειρίαν, ἀρχῇ δηλονότι καὶ πέρατι, εἴτε τῇ διαιρέσει, ἢ τῇ δυνάμει· εἰ δὲ κατ' ἄμφω τοὺς τρόπους ἄπειρον θάτερον, καὶ θάτερον ἄπειρον ἔσται κατ' ἄμφω· οὔτε γὰρ ἄπειρον μέγεθος, εἰ ἔστιν, δυνατόν ἐστιν ἐν πεπερασμένῳ χρόνῳ διεξελθεῖν, οὔτε ἀνάπαλιν ἐν ἀπείρῳ χρόνῳ μέγεθος πεπερασμένον διεξελθεῖν. Καὶ δείκνυσιν ἐν καταγραφῇ.

Ὅτι τὸ αὐτό ἐστιν ἔσχατον ἐν ἀμφοτέροις τοῖς χρόνοις, τῷ τε παρελθόντι καὶ τῷ μέλλοντι, τὸ νῦν, καὶ ἀδιαίρετον ἅμα· καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ δείκνυσιν.

f. 181 Ὅτι ἑπομένως οὐδὲν ἐν τῷ νῦν | κινεῖται οὐδ' ἠρεμεῖ· οὐ γάρ ἐστιν ἐν τῷ νῦν πρότερόν τε καὶ ὕστερον, ἀδιαιρέτῳ ὄντι.

Ὅτι πᾶν τὸ μεταβάλλον καὶ κινούμενον διαιρετόν ἐστιν· τὸ μὲν γὰρ αὐτοῦ ἐστιν ἐν τῷ ἐξ οὗ ἤρξατο μεταβάλλειν, τὸ δὲ ἐν τῷ εἰς ὃ ἤρξατο μεταβάλλειν· οὐ γὰρ ἀθρόως μεταβάλλει· ἢ οὐκ ἂν ἐλέγετο μεταβάλλειν ἀλλὰ μεταβεβληκέναι.

---

* *ἐντεῦθεν τῶν ὑποθέσεων μόνων αἱ σημειώσεις εἰσὶ πρὸς ἀνάμνησιν γεγραμμέναι.* **Note autographe dans la marge gauche A** **11** *κατὰ γραφαῖς* **A**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ὅτι πᾶσα κίνησις κατὰ δύο τρόπους ἐστὶ διαιρετή, διά τε τὸν χρόνον καὶ διὰ τὰ μέρη τοῦ κινουμένου καὶ τὰς τῶν μερῶν αὐτῶν κινήσεις· καὶ καταγραφῇ δείκνυται.

Ὅτι, ἐπεὶ πέντε τινὰ θεωρεῖται ἐν τῇ κινήσει· τὸ κινούμενον αὐτό, ὁ χρόνος ἐν ᾧ κινεῖται, ἡ κίνησις αὐτή, τὸ τῆς κινήσεως εἶδος, ἀλλοίωσις δηλονότι ἢ φορά, καὶ αὐτὸ τὸ κινεῖσθαι ἤτοι ἡ ἐνέργεια τῆς κινήσεως, εἰ ἓν ἐστι τούτων διαιρετόν, καὶ τὰ ἄλλα διαιρετὰ ἔσται, καὶ εἰ ἐπ' ἄπειρον διαιρετόν, καὶ τὰ ἄλλα οὕτως ἕξει· διότι γὰρ τὸ κινούμενον ἤτοι τὸ μέγεθος διαιρετὸν καὶ ἐπ' ἄπειρον διαιρετόν, καὶ ἡ κίνησις οὕτως ἔχει, καὶ διὰ τὴν κίνησιν ὁ χρόνος, καὶ διὰ τὸν χρόνον ἡ ἐνέργεια, τὸ κινεῖσθαι, καὶ δι' αὐτὸ ἀκολούθως τὸ εἶδος αὐτὸ τῆς κινήσεως.

Ὅτι τὸ μεταβάλλον, ὅτε τὶ μετέβαλε πρώτως, ἐν ἐκείνῳ ἐστὶν ἐν ᾧ μεταβέβληκεν· ἀπολέλοιπε γὰρ τὸ ἐξ οὗ μετέβαλεν καὶ ὃ πρότερον ἦν. Ἔτι, τὸ ἐν ᾧ πρώτως μεταβέβληκε τὸ μεταβεβλημένον ἀνάγκη ἄτομον εἶναι καὶ ἀδιαίρετον ἤγουν τὸ νῦν· εἰ γὰρ ἔστι διαιρετόν, ἄτοπα ἀκολουθήσει. Τὸ δ' ἐξ οὗ μεταβάλλειν ἤρξατο οὐκ ἀνάγκη ἀδιαίρετον εἶναι· κινεῖται γὰρ καὶ μεταβάλλει τὸ ἀρξάμενον ἤδη μεταβάλλειν, πᾶσα δὲ κίνησις καὶ μεταβολή, ὡς συνεχές τι νοουμένη, διαιρετή ἐστιν καὶ ἀεὶ διαιρετή, ὥστε οὐκ ἂν εἴη τὸ πρώτως καὶ τὸ ἀδιαίρετον ἐν τῇ ἀρχῇ τοῦ μεταβάλλειν· τοῦτο δὲ ὡσαύτως ἕξει καὶ ἐπ' αὐτοῦ τοῦ εἴδους τῆς μεταβολῆς.

Ὅτι οὐ μόνον ἀνάγκη τὸ μεταβάλλον καὶ κινούμενον ἤδη κεκινῆσθαι καὶ μεταβεβληκέναι, ἀλλὰ καὶ ἀντιστρόφως τὸ μεταβεβληκὸς αὐτὸ μεταβάλλειν πρότερον· ἅπαν γὰρ τὸ μεταβεβληκὸς ἔκ τινος εἴς τι μεταβάλλον μεταβέβληκεν, ὥστε εἶναι τοῦ μὲν μεταβάλλειν ἀεὶ πρότερον τὸ μεταβεβληκέναι, τοῦ δὲ μεταβεβληκέναι ἀεὶ ὡσαύτως πρότερον τὸ μεταβάλλειν, καὶ μηδέποτε δυνατὸν εἶναι ληφθῆναι τὸ τούτων πρῶτον· τούτου δ' αἴτιον ἡ τοῦ συνεχοῦς | ἐπ' ἄπειρον διαίρεσις, καὶ τοίνυν παντὸς τοῦ γινομένου f. 181v ἐστὶ πρότερον τὸ γεγονός, καὶ παντὸς γεγονότος πρότερον τὸ γινόμενον. Τοῦτο δ' οὕτως ἔχει ἐπὶ τῶν γινομένων ὅσα διαιρετά, ὥσπερ ἡ ἁφὴ γίνεται μέν, ἀλλ' οὐκ ἔστι διαιρετή. Ἐφ' ὧν δὲ τὸ γίνεσθαι διαιρετόν, ἐπὶ τούτων ἐστὶ τὸ εἰρημένον. Γεγενῆσθαι δὲ φαμὲν τὸ γινόμενον οὐχ ὡς γεγενημένον ὃ γίνεται· πῶς γὰρ ἂν εἴη αὐτὸ τὸ γινόμενον γεγενῆσθαι ἁπλῶς; ἀλλὰ κατά τι τῶν αὐτοῦ, οἷον τὸ γινόμενον ἡ οἰκία γέγονε κατά τι τῶν αὐτοῦ· γέγονε γὰρ ἴσως ὁ θεμέλιος. Παραπλήσιον δὲ καὶ ἐπὶ τοῦ φθείρεσθαι ἔχει.

Ὅτι ἀδύνατόν ἐστι πεπερασμένου μήκους διάστασιν ἢ πεπερασμένην κίνησιν ἐν ἀπείρῳ χρόνῳ κινεῖσθαι, εἰ μὴ τὴν αὐτὴν ἴσως πολλάκις,

---

5 après *αὐτή* un mot effacé A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὥσπερ ἡ κυκλοφορία τοῦ οὐρανοῦ ἡ αὐτὴ πολλάκις, μᾶλλον δ' ἀεί ἐστιν· πεπερασμένην δὲ ἅπαξ κίνησιν ἅπασαν, ἀδύνατον, εἴτε ἰσοταχῶς κινεῖται τὸ κινούμενον, εἴτε ἀνισοταχῶς. Καὶ ἐπὶ τῆς ἠρεμήσεως ἢ ἠρεμίας ὡσαύτως ἔχει· καὶ ταύτης γὰρ πεπερασμένης οὔσης, ὡρισμένος ἐστὶ καὶ πεπερασμένος ὁ χρόνος. Ἐντεῦθεν πορίζεται, ὅτι ἀδύνατόν ἐστιν ἢ γίνεσθαι, ἢ φθείρεσθαι ὁτιοῦν τὸ αὐτὸ καὶ ἓν εἰς ἄπειρον· πᾶν γὰρ τὸ γινόμενον καὶ φθειρόμενον αὐτόθεν δῆλον, ὡς πεπερασμένον ἐστὶ καὶ ἀρχὴν ἔχον καὶ πέρας· καὶ ἀντιστρόφως δὲ ἀδύνατον ἐν πεπερασμένῳ χρόνῳ ἄπειρον διάστασιν ἢ κίνησιν κινεῖσθαι, ἢ ἠρεμίζεσθαι, οὔτ' ἐπ' ἀμφότερα τὰ μέρη ὑποτιθείη τις ἄπειρον αὐτήν, οὔτ' ἐφ' ἓν μέρος· δεῖ γὰρ τὰ μόρια αὐτῆς τῆς κινήσεως ἀνταποκρίνεσθαι τοῖς ὡρισμένοις μορίοις τοῦ χρόνου, καὶ ἐκδαπανωμένων τῶν μορίων τοῦ χρόνου, καὶ ταύτην συνεκδαπανᾶσθαι καὶ συμπεραίνεσθαι. Ὡσαύτως οὐδὲ πεπερασμένον μέγεθος διελεύσεται τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ, οὐδὲ ἄπειρός ἐστιν ὅλως κίνησις ἐν πεπερασμένῳ χρόνῳ. Ταῦτα πάντα καλῶς ἀποδείκνυσιν.

Ὅτι τὸ ἱστάμενον, ὅτε ἵσταται, κινεῖται· ἱστάμενον δέ φησιν ἐνταῦθα τὸ ἠρεμίζον ἤτοι τὸ πρὸς ἠρεμίαν βαδίζον. Τὸ τοιοῦτον τοίνυν ἱστάμενον, ὅτε ἵσταται εἴτουν ἠρεμίζει, κινεῖται· εἰ γὰρ μὴ κινεῖται, ἠρεμεῖ· τὸ δὲ
f. 182 ἠρεμίζον πῶς ἂν | λέγοιτο ἠρεμεῖν; Ὁδεύει γὰρ εἰς τὸ ἠρεμεῖν, ὥστε εἰ οὐκ ἠρεμεῖ, κινεῖται πάντως. Ἐπεὶ τοίνυν τὸ ἱστάμενον εἴτουν ἠρεμίζον οὕτως ἔχει καὶ κινεῖται, ἀνάγκη καὶ ἐν χρόνῳ τοῦτο κινεῖσθαι, ὅτι πᾶν τὸ κινούμενον ἐν χρόνῳ κινεῖται.

Ὅτι οὐκ ἔστιν εὑρεῖν ἐν ᾧ πρώτως ἵσταται τὸ ἱστάμενον, οὔτε ἐν ᾧ πρώτως ἠρεμεῖ τὸ ἠρεμοῦν· τὸ κινεῖσθαι γὰρ καὶ τὸ ἠρεμεῖν ἐν χρόνῳ· χρόνος δὲ ἅπας διαιρετὸς ἐπ' ἄπειρον, ὡς καὶ μέγεθος καὶ συνεχὲς ἅπαν ἐπ' ἄπειρον διαιρετόν. Πῶς οὖν ἔστι τὸ πρῶτον εὑρεῖν ἐν αὐτοῖς;

Ὅτι Ζήνων ὁ Ἐλεάτης, ἀναιρῶν τὸ ὅλως εἶναι κίνησιν, ἔλεγεν ὅτι ἐν τῷ νῦν τοῦ χρόνου ὁτουοῦν ἔστι τὸν φερόμενον οἰστὸν ἐν τῷ αὐτῷ εἶναι ἤτοι ἴσον ἐπέχοντα διάστημα ἑαυτῷ μένειν, καὶ ἐπεὶ ἐξ ἀνάγκης πᾶν ἢ κινεῖται, ἢ ἠρεμεῖ, καθ' ἕκαστον δὲ νῦν ἐν ᾧ φέρεται οἰστὸς ἠρεμεῖ καὶ μένει (ἐν τῷ αὐτῷ γάρ ἐστιν ἤτοι ἴσον ἐπέχει τῇ αὐτοῦ διαστάσει διάστημα), ἀκολουθεῖ ὡς ἐν ᾧ χρόνῳ φέρεται ὁ οἰστός, ἐν ὅλῳ ἠρεμεῖ, ὅπερ ἀδύνατον καὶ ἄτοπον· ὥστε οὐκ ἂν εἴη ὅλως κίνησις. Παραλογίζεται οὖν ὁ Ζήνων συντιθεὶς τὸν χρόνον ἐκ τῶν νῦν· ἀδύνατον δὲ ἐδείχθη συνεχίζεσθαί τι ἐκ τῶν ἀμερῶν· τὸ δὲ νῦν ἀμερές, καὶ οὐ μόριόν τι, ἀλλὰ πέρας χρόνου διώρισται. Ἐν μὲν γὰρ τῷ νῦν ἐννοεῖν μένοντα τὸν οἰστόν, ἢ ὁτιοῦν τὸ φερόμενον, ὡς ἐν πέρατι καὶ μὴ ἐν μορίῳ χρόνου, εὔλογον· ἐν δὲ μορίῳ ὅλως ὁτῳοῦν τοῦ χρόνου λέγειν ὁποιοῦν μένειν τὸ φερόμενον, ὡς ἐντεῦθεν καὶ ἐν ὅλῳ τῷ χρόνῳ τῷ συντιθεμένῳ ἐκ τῶν μορίων ὡσαύτως ἀκολουθεῖν τὸ μένειν τὸ φερόμενον, ἄλογον καὶ ἀδύνατον·

Ε.Υ.Α. τηρ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Τίθησι δὲ καὶ ἄλλους τρεῖς τοῦ Ζήνωνος λόγους, δι' ὧν ἐδόκει τὴν κίνησιν ἀναιρεῖν· ὧν ὁ μὲν εἷς ἀπὸ τῆς ἐπ' ἄπειρον διχοτομίας τῶν μεγεθῶν ἐπιχειρεῖ, ὃν καὶ πρότερον μνημονεύει καὶ ἀνῄρηκεν· οὐ γὰρ ἐνεργείᾳ τὰ ἄπειρα μόριον τοῦ μεγέθους, ἀλλὰ δυνάμει, καὶ οὕτως ἔχοντα κινηθῆναι οὐδὲν προσίσταται. Ἄλλος δὲ λόγος, ὃν καὶ ἐκάλουν Ἀχιλλέα, ὅτι φησίν· οὐκ ἔστι παραδραμεῖν οὐδὲ τὸ ταχύτατον τὸ βραδύτατον, οὐδὲ Ἀχιλλεὺς οἷος τ' ἂν εἴη ὁ ὠκύτατος κατὰ τὸν Ὅμηρον καὶ ποδαρκής, παραδραμεῖν τὴν βραδυτάτην χελώνην διὰ τὴν ἀπειρίαν τῆς τῶν μεγεθῶν τομῆς. Λύεται δὲ καὶ οὗτος ὁμοίως τῷ πρὸ αὐτοῦ. Ὁ δὲ τέταρτος ἦν ἐκ τῶν ἐν σταδίῳ ἀντικειμένων, ὃν καὶ αὐτὸν ἐλέγχει καλῶς σοφιζόμενον.

| Ἔτι, ἔλεγόν τινες ὡς εἰ ἔστι μεταβολὴ ἐκ τοῦδε τινὸς εἰς τόδε τι, f. 182v
τόδε μεταβάλλον, ὅτε μεταβάλλει, οὔτε ἐν ἐκείνῳ ἐστὶν ὃ ὑπολείπει, οὔτε ἐν ἐκείνῳ εἰς ὃ φέρεται, συμβαίη ἂν τι ἀδύνατον ἐπὶ τῷ νοεῖν τὴν ἀντίφασιν μεταβολῶν· ἀκολουθεῖ γὰρ εἶναί τι μέσον τῆς ἀντιφάσεως, εἴπερ ἐκ μὴ τοῦδε εἰς τόδε μεταβάλλον τὸ μεταβάλλειν λεγόμενον ἐν οὐδετέρῳ τῶν δύο ἐστίν. Ἔοικεν γὰρ ἐν ἄλλῳ τινὶ εἶναι μεταξὺ ὄντι τῶν δύο, ὅπερ ἀδύνατον· τῆς γὰρ ἀντιφάσεως οὐδὲ μεταξύ, ἀλλ' ἐπὶ παντὸς ἡ κατάφασις, ἢ ἡ ἀπόφασις. Λύει δὲ τὴν ἔνστασιν ἢ τὴν ἀπορίαν ταύτην, λέγων ὡς εἴ τι μεταβάλλον ἐκ μὴ τοῦδε εἰς τόδε, οὐκ ἔστιν ὅλως ἐν οὐδενὶ τῶν δύο, ἀλλὰ μέρος μέν τι ἐν τῷδε, μέρος δέ τι ἐν θατέρῳ, οἷον μεταβάλλει τι ἐκ μὴ λευκοῦ εἰς λευκόν. Ὅτε τοίνυν μεταβάλλει, οὔτε μὴ λευκόν ἐστιν ὅλον, οὔτε ὅλον λευκόν, ἀλλὰ μέρει μὲν ἐν τῷ μὴ λευκῷ ἐστι, μέρει δὲ ἐν τῷ λευκῷ, καὶ ἔνθα τὸ πλεονάζον, οὐδὲν ἀπεικὸς ἐρεῖν ἐν τούτῳ εἶναι τὸ μεταβάλλον· οὐ γὰρ ἔστι ταὐτὸν εἰπεῖν, ὅτι τόδε λευκὸν ὅλον ἐστίν, ἢ μὴ λευκὸν ὅλον, καὶ ἁπλῶς εἰπεῖν, ὅτι τόδε λευκὸν οὐκ ἔστιν, ἢ τόδε λευκὸν οὐκ ἔστι. Διὰ τοῦτο ἐκ μὴ λευκοῦ μεταβάλλον εἰς λευκόν, καὶ τὸ ἀνάπαλιν, ῥηθείη ἂν λευκὸν εἶναι ἀορίστως, οὐχ ὅλον λευκὸν ἢ μὴ λευκόν, οὐχ ὅλον μὴ λευκόν. Ὥσπερ δὲ ἔχει ἐπὶ τοῦ μὴ λευκοῦ καὶ λευκοῦ, οὕτως ἐπὶ πάσης ἀντιφάσεως, αὐτῆς τε τῆς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἥτις ἐστὶ γένεσις, καὶ τῆς ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν, ἥτις ἐστὶ φθορά.

Ὅτι ἔλεγόν τινες, ὡς ὅταν κύκλος, ἢ σφαῖρα, ἢ ὅλως τὰ ἐν ἑαυτοῖς καὶ περὶ τὸ κέντρον αὐτῶν στρεφόμενα κινῆται καὶ μεταβάλλῃ, ἐπειδὴ τά τε μέρη αὐτῶν καὶ τὸ ὅλον ἐν τῷ αὐτῷ εἶεν, δόξαιεν ἂν ἠρεμεῖν· ἠρεμία γάρ, ὅταν τι ἐν ταὐτῷ χρόνον τινά, ὥστε λέγοιτ' ἂν τὰ οὕτω κινούμενα ἅμα τε κινεῖσθαι καὶ ἠρεμεῖν. Λύει δὲ καὶ ταύτην τὴν ἀπορίαν οὕτως· ὅτι προηγουμένως μὲν τὰ μέρη τῶν οὕτω φερομένων κυκλικῶς ἀεὶ ἄλλους καὶ ἄλλους μεταβάλλει τόπους, καὶ τοὺς ἀλλήλους ἀντιλαμβάνει, καὶ οὐδέποτε ἐν τῷ αὐτῷ εἰσιν· ἡ δὲ τῶν μερῶν κίνησις αὕτη καὶ τοῦ ὅλου κίνησίς ἐστιν· ἀλλὰ καὶ ἡ τοῦ ὅλου κίνησις, εἰ τῷ ὑποκειμένῳ μία ἐστίν, ἀλλὰ νοεῖται ἄλλη καὶ ἄλλη τῇ σχέσει ἀπὸ δια-

φόρων σημείων ἀρχομένων φέρεσθαι καὶ τὴν ὅλην ἐξανύειν αὐτοῦ περι- f. 183 φορὰν ἢ ἀπὸ τοῦ Α, ἢ τοῦ Β, ἢ τοῦ Γ, | ὡς ἐπὶ τοῦ Ζωδιακοῦ νοοῖτ' ἂν ἢ ἀπὸ τοῦ Κριοῦ, ἢ ἀπὸ τοῦ Καρκίνου, ἢ ἀπὸ τοῦ Ζυγοῦ, ἢ ἀπ' ἄλλου του τῶν ἐν αὐτῷ μερῶν, διαφόρων πάντων ὄντων, ἡ τοιαύτη διὰ τοῦ Ζωδιακοῦ φορὰ τοῦ ὅλου.

Ὅτι ἀδύνατον τὸ ἀμερὲς κινεῖσθαι πλὴν εἰ μὴ κατὰ συμβεβηκός, ὅταν κινῆται τὸ μέγεθος ἐν ᾧ ἐστιν, ὥσπερ, τοῦ πλοίου κινουμένου, λέγεται τὸ ἐν αὐτῷ κινεῖσθαι κατὰ συμβεβηκός, οἷον πλωτὴρ ἢ μέρος αὐτοῦ τοῦ πλοίου, τρόπις τυχόν. Ἀμερὲς δέ φησι τὸ κατὰ ποσὸν ἀδιαίρετον. Καθ' αὑτὸ δὲ ἀδύνατον κινεῖσθαι ὅλως τὸ ἀμερές· εἰ γὰρ τὸ μὲν ἐστιν αὐτοῦ ἐν ᾧ ἀπολείπει, τὸ δὲ ἐν ᾧ γίνεται, ὡς ἐπὶ πάντων εἴρηται νοεῖσθαι τῶν κινουμένων μεταβαλλόντων, μέτοιτο ἂν τὸ ἀμερές, ἢ ἠρεμοίη ἂν ἐν τῷ μεταβάλλειν, ἢ κινούμενον καὶ διαιρουμένῳ τῷ χρόνῳ διαιροῖτο ἂν εἰς ἔλαττον ἑαυτοῦ, καὶ ἄλλα ἄτοπα ἕψεται. Ἀλλ' οὔτε ἐν τῷ νῦν ἐστι κίνησις, ὡς εἴρηται, οὔτε ἀδιαίρετόν τι κινεῖσθαι δύνασθαι.

Ὅτι πᾶσα μεταβολὴ καὶ κίνησις πεπερασμένη καὶ οὐκ ἄπειρος. Ἔστι γὰρ μεταβολὴ πᾶσα ἐκ τοῦδε εἰς τόδε τι, καὶ τὰ πέρατα τῶν μεταβολῶν ὥρισται, καὶ τὰ ζῷα οὐκ ἐπ' ἄπειρον κινεῖται κίνησιν· οὐ γὰρ μάτην κινοῦνται οὐδὲ τοῖς ἀδυνάτοις ἐπιχειροῦσιν· ὥστε καὶ ἡ κατὰ τόπον κίνησις οὐ μόνον ἐπὶ τῶν εἰς ὡρισμένα πέρατα κινουμένων σωμάτων φυσικῶν, ἀλλὰ καὶ ἐπὶ τῶν ζῴων ἐν πέρατι ὁρίζεται, καὶ οὐκ ἄπειρος.

Ὅτι εἰ ὅλως ἐνδέχεται ἄπειρον εἶναι κίνησιν, τῷ χρόνῳ ἴσως ἂν ἐνδέχοιτο ἤτοι διὰ τὴν τοῦ χρόνου ἀϊδιότητα, ὡς εἴ τις μετὰ τὸ βαδίσαι, πρὶν ἢ ἠρεμῆσαι θερμανθείη, καὶ εὐθὺς λευκανθείη, καὶ εὐθὺς διδαχθείη, καὶ οὕτως ἐφεξῆς ἀπ' ἄλλου εἰς ἄλλο μεταβάλλοι. Ἀλλ' οὐκ ἂν εἴη αὕτη μία μεταβολή, εἰ καὶ εἰς ἄπειρον δύναιτο κατὰ διαδοχὴν γίνεσθαι, ἀλλὰ πλεῖσται συνεχεῖς τῷ χρόνῳ καὶ ἑκάστη πεπερασμένη· ὁ δὲ λόγος περὶ μιᾶς τῷ ἀριθμῷ μεταβολῆς, εἰ ἔστι τῷ χρόνῳ ἄπειρος· τοῦτο δὲ ἴσως οὐκ ἐπ' ἄλλης ἂν κινήσεως εὐχερῶς λέγοιτο ἢ τῆς κύκλῳ τοῦ οὐρανίου σώματος, ἥτις ἀΐδιος οὖσα, φησί, διὰ τὸ συνεχὲς τοῦ χρόνου μία μέν ἐστι καὶ ἄπειρος ἀεί, ἀλλὰ τῷ πάλιν καὶ πάλιν ἡ αὐτή, ἤτοι μία τῷ εἴδει:

## Sur le livre VII.

### Ἐκ τοῦ ἦτα τῆς φυσικῆς ἀκροάσεως.

Ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται, εἴτε ἔξωθεν κινεῖται, ὡς f. 183v τὰ ὠθούμενα, ἢ ἑλκόμενα, ἢ δινούμενα, ἢ ὀχούμενα· εἴτε οἴκοθεν, | ὡς ὅσα τῶν φυσικῶν ἐν ἑαυτοῖς ἔχει ἀρχὴν κινήσεως, ὡς ἐνταῦθα ἀποδείκνυσιν οὐ πάνυ ἀναγκαίως. Ὅθεν καί τινες τῶν ἐξηγουμένων εὐθύνουσιν τὰς ἐπιχειρήσεις, καίτοι τὸ δόγμα ὡς ἀληθέστατον προσιέμενοι,

Ε.Υ. Ζήσης τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὅτι πᾶν τὸ κινούμενον ὑπό τινος κινεῖται· ἐν δὲ τῷ μετὰ τοῦτο τελευταίῳ βιβλίῳ ἀναντιρρήτοις καὶ ἀσφαλέσι λόγοις αὐτὸ δείκνυσιν.

Ὅτι οὐ πᾶν τὸ κινοῦν καὶ αὐτὸ κινεῖται· εἰ γὰρ κινεῖται πᾶν τὸ κινοῦν, εἴη τε ἂν τοῦτο ἐπ' ἄπειρον, ὡς οὐδαμοῦ στήσεται, καὶ ἔτι ἄπειρος ἔσται κίνησις ἐν χρόνῳ πεπερασμένῳ, ὅπερ πρότερον ἀπηγορεύθη. Καὶ ὅτι ταῦτα ἕψεται, δείκνυσιν. Οὐκοῦν, εἰ τοῦτο ἄτοπον, τὸ πᾶν τὸ κινοῦν κινεῖσθαι, διὰ τὰ ἑπόμενα, στήσεταί ποτε τὸ κινοῦν, καὶ οὐ πᾶν κινοῦν κινηθήσεται, ἔσται δέ τι πρώτως κινοῦν οὐκ αὐτὸ κινούμενον, οὐχ ὡς τέλος (τοῦτο γὰρ ἔξωθεν τοῦ κινουμένου), ἀλλ' ὡς τὸ ποιητικὸν τῆς κινήσεως τὸ προσεχὲς ἅμα καὶ ἁπτόμενον.

Ὅτι ἅπαν τὸ φερόμενον ἢ ὑφ' ἑαυτοῦ κινεῖται, ἢ ὑφ' ἑτέρου. Καὶ τὸ μὲν ὑφ' ἑαυτοῦ κινούμενον ἐντὸς ἔχει τὸ κινοῦν, ὡς ἐν τοῖς ζῴοις ἡ ψυχή ἐστι τὸ κινοῦν αὐτά. Ἅμα οὖν εἰσιν ἐν τούτοις καὶ συνημμένοις τό τε κινοῦν καὶ τὸ κινούμενον. Τὰ δὲ ὑφ' ἑτέρων κινούμενα, ἤτοι βίᾳ, τετραχῶς κινεῖται· ἢ ὤσει, ἢ ἕλξει, ἢ ὀχήσει, ἢ δινήσει. Καὶ ἡ ὦσις ἢ ἄπωσις ἐστὶν ὅταν τις ἀπωθῆταί τι ἀφ' ἑαυτοῦ μὴ συνεπόμενος αὐτῷ, ἢ ἔπωσις, ὅταν συνῇ καὶ συνέπηται τὸ ὠθοῦν, ὥσπερ ὁ τροχὸν ὠθῶν ἐφέπεται αὐτῷ, καὶ ὁ ἄνεμος ἐμπίπτων κινεῖ τὰ λαίφη καὶ δι' αὐτῶν τὴν ναῦν, συνὼν ἀχωρίστως, καὶ ἡ ῥίψις τῶν λίθων ἢ ἀκοντίων ὦσις ἐστίν, ἕως ἂν ἰσχύῃ ἡ τοῦ ῥίψαντος δύναμις ὑπὲρ τὴν κατὰ φύσιν τοῦ φερομένου κίνησιν· ὅταν δὲ αὖθις αὕτη ἐγκρατεστέρα γένηται τῆς τοῦ ὠθήσαντος βίας, ἄγει πάλιν εἰς τὴν καθ' αὑτὸ κίνησιν τὸ φερόμενον. Ἕλξις δέ ἐστιν ὅταν ἕλκηταί τι παρ' ἄλλου ἢ πρὸς αὐτὸ τὸ ἕλκον, ἢ πρὸς ἄλλο, ὅτε τὰ οὕτω κινούμενα θᾶττον κινοῦνται τῆς κατὰ φύσιν οἰκείας κινήσεως. Ἐνταῦθα συντάττονται ἡ εἰσπνοὴ καὶ ἐκπνοή, ἡ πτύσις, ἡ ὁλκὴ τῆς τροφῆς καὶ τῆς πόσεως, αἱ διακρίσεις αἱ φυσικαί· πάντα γὰρ ταῦτα ἕλξεις εἰσί. Καὶ ἡ σπάθησις ἡ παρὰ τοῦ ὑφάντου ἐν τοῖς ὑφαινομένοις, καὶ ἡ κέρκισις, ὧν ἡ μὲν σπάθησις σύγκρισις, ἡ δὲ | κέρκισις διάκρισις, ὡς καὶ πᾶσα f. 184 ἕλξις καθόλου ὑπὸ τὴν σύγκρισιν καὶ διάκρισιν ἀνάγονται, ὡς ὅλως ἡ κατὰ τόπον βίαιος κίνησις. Δίνησις δὲ θεωρεῖται κατὰ ὦσιν καὶ ἕλξιν, ὡς ἔχει ἡ διὰ χειρὸς δίνησις τῶν μύλων. Ἡ δὲ ὄχησις ἢ ἕλξει γίνεται, ὡς ὁ ἐν τῷ πλοίῳ πλωτὴρ κινεῖται ὀχούμενος, τοῦ πλοίου φερομένου· ἢ ὤσει, ὡς ὁ αὐτὸς πλωτὴρ πάλιν, ὠθοῦντος τοῦ ἀνέμου τὴν ναῦν, ἐν αὐτῇ κινεῖται ὀχούμενος· ἢ δινήσει, ὡς τὰ ἐν τοῖς ῥόμβοις* ἢ τοῖς μύλοις ὀχούμενα ζῷα ἢ σώματα, ἅττα, δινουμένων αὐτῶν, καὶ αὐτὰ ὀχούμενα κινεῖται· ὥστε καὶ ἡ ὄχησις κατὰ τοὺς τρεῖς τρόπους θεωρεῖται τῶν βιαίων κινήσεων, τὴν ὦσιν δηλονότι, τὴν ἕλξιν, τὴν δίνησιν. Ἐξῃρήσθω δὲ ὁ ἱππεὺς

* *ῥόμβος, σανίδιον, ὃ στρέφουσιν εἰς ἀέρα, καὶ ἦχον ποιοῦσιν· ἢ τρόχισκος, ὃν τύπτοντες ἱμᾶσι καὶ στρέφοντες ποιοῦσι περιδινεῖσθαι καὶ ψόφον ἀποτελεῖν· λέγεται καὶ ῥύμβος καὶ βρυτήρ.* Note autographe à la marge supérieure A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐν τῷ ἵππῳ ὀχούμενος, ἅτε καὶ ἄμφω ἔμψυχα· καὶ ἄμφω κινεῖ τε καὶ κινεῖται τρόπον ἕτερον τό τε ὀχούμενον καὶ ἐφ' οὗ ὀχεῖται, καὶ ἅμα εἰσὶν ἐν αὐτοῖς τό τε κινοῦν καὶ κινούμενον.

Ἐπεὶ τοίνυν αἱ μὲν βίαιοι κινήσεις τέσσαρες, ἀνάγονται δὲ αἱ πᾶσαι εἰς δύο, τὴν ὦσιν καὶ τὴν ἕλξιν, ὡς εἴρηται, τὸ δὲ ὠθοῦν καὶ τὸ ἕλκον ἅμα ἐστὶ τῷ ὠθουμένῳ καὶ ἑλκομένῳ, καὶ οὐδὲν αὐτοῖς μεταξύ, εὔδηλον ὅτι καὶ ἐν πάσῃ τῇ κατὰ βίαν φορᾷ καὶ κινήσει συνῆπται τὸ κινοῦν καὶ κινούμενον. Ἐπεὶ δὲ καὶ ἐν τοῖς ὑφ' αὑτῶν κινουμένοις οὕτως εἴρηται ἔχειν, δηλαδὴ τοῖς ἐμψύχοις, οὐκοῦν ἐν πάσῃ τῇ κατὰ τόπον κινήσει ἅμα ἐστὶ καὶ συνῆπται τὸ κινοῦν τῷ κινουμένῳ. Τὸ αὐτὸ καὶ ἐπὶ τῆς ἀλλοιώσεως δείκνυσιν, ὅτι ἅμα ἐστὶ τὸ ἀλλοιούμενον καὶ τὸ προσεχῶς ἀλλοιοῦν· τά τε γὰρ ἄψυχα σώματα ταῖς παθητικαῖς ποιότησιν ἀλλοιούμενα καὶ τὰ ἔμψυχα ζῷα καὶ τούτων ὅσα τὰ αἰσθητικὰ μέρη, ὡς σάρκα καὶ νεῦρα, καὶ ὅσα ἀναίσθητα, ὡς ὄνυχες καὶ τρίχες καὶ ὀστᾶ, ὡς ἑκάστοις ἁρμόττει ἀλλοιούμενα, παρόντων τῶν ἀλλοιούντων, τῶν αἰσθητῶν δηλονότι ποιοτήτων, καὶ ἁπτομένων, ἀλλοιοῦνται. Ἰδιαίτερον δὲ τὰ ζῷα ἀλλοιοῦνται αἰσθανόμενα ὑπὸ τῶν αἰσθητῶν παρόντων αὐτοῖς, ὡς εἶναι ἅμα τό τε πρώτως ἀλλοιοῦν καὶ τὸ ἔσχατον τοῦ ἀλλοιουμένου, καὶ οὐδὲν αὐτῶν μεταξύ. Θερμαίνεται πάντως ἤτοι προσεχῶς τὰ σώματα, μᾶλλον δὲ καὶ
f. 184ᵛ τούτων τὰ ἔσχατα πρώτως ἤτοι αἱ ἐπιφάνειαι, | καὶ ἑξῆς κατὰ διαδοχὴν τὰ σώματα· πελάζει γάρ, φησί, τὸν αἰσθητὸν τῷ ἀέρι, καὶ ὁ ἀὴρ διὰ τῆς ἐπιφανείας τῷ σώματι. Καὶ ἐπὶ τῆς ἀκοῆς καὶ τῆς ὀσφρήσεως οὕτως ἔχει· διὰ γὰρ τὸ βάρος γίνεται αὐταῖς ἡ ἀντίληψις τῶν αἰσθητῶν, καὶ τὸ μὲν χρῶμα πελάζει τῷ φωτί, τὸ δὲ φῶς τῷ ὀπτικῷ. Καὶ κατὰ τὴν γεῦσιν ἡ ἀλλοίωσις τῇ μεταλήψει καὶ ἐπαφῇ τῶν χυμῶν ἐνεργεῖται, καὶ οὕτω διὰ πάντων ἐμψύχων τε καὶ ἀψύχων δείκνυται ὡς ἐν ταῖς ἀλλοιώσεσιν ἅμα ἐστὶ τὸ ἀλλοιοῦν τῷ ἀλλοιουμένῳ εἴτουν ἡ παθητικὴ ποιότης καὶ τὸ πάσχον αὐτὴν καὶ κινούμενον, καὶ οὐδὲν αὐτῶν ἐστι μεταξύ. Καὶ ἐπὶ τῆς αὐξήσεως τὸ αὐτό ἐστι καὶ τῆς φθίσεως· ἅμα γὰρ ἡ διὰ τῆς τροφῆς πρόσθεσις τοῖς μορίοις τοῦ τρεφομένου σώματος καὶ ἡ αὔξησις αὐτῶν, καὶ τοὐναντίον ἅμα ἡ ὑφαίρεσις καὶ ἡ φθίσις εἴτουν ἡ μείωσις τοῦ σώματος.

Δόξειεν μὲν οὖν ἀλλοιώσεις εἶναι τὰ σχήματα καὶ τὰς μορφάς, ἔτι δὲ καὶ τὰς ἕξεις ἤγουν ἀρετὰς καὶ κακίας καὶ τὰς τούτων λήψεις καὶ ἀποβολὰς γενέσεις εἶναι καὶ φθοράς· οὐκ εἰσὶ δὲ ταῦτα ἀλλοιώσεις, οὐδὲ αἱ γενέσεις κυρίως ἀλλοιώσεις εἰσίν. Οὐ γὰρ ὁ γινόμενος ἄνθρωπος ἀλλοιοῦται, φαμέν, ἢ ἡ οἰκία, ὅταν γίνηται· ἐν μὲν γὰρ ταῖς ἀλλοιώσεσι, τῶν ὑποκειμένων μενόντων, γίνεται ἡ μεταβολή· ἐπὶ δὲ τῶν γενέσεων αὐτὰ μᾶλλον τὰ ὑποκείμενα γίνεται καὶ οὐ μεταβάλλει, ἀλλὰ τὸ μήπω πρότερον ὂν γίνεται ἄνθρωπος, ἢ οἰκία· καὶ ἐν μὲν ταῖς γενέσεσιν ἄλλα

Ε.Υ.Δ.Τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γίνεται, ἐν δὲ ταῖς ἀλλοιώσεσιν ἀλλοῖα. Ὅτι δὲ οὐδὲ αἱ ἕξεις εἴτουν ἀρεταὶ καὶ κακίαι, ἢ ψυχικαί, ἢ σωματικαί, οὐδ᾽ αὗταί εἰσιν ἀλλοιώσεις· ἡ μὲν γὰρ ἀρετὴ τελείωσίς ἐστι τοῦ βελτίστου τῷ ἐν ᾧ θεωρεῖται, καὶ ἡ κακία ἔκστασις αὐτοῦ· ὅταν γὰρ λάβῃ ἕκαστον τὴν οἰκείαν ἀρετήν, τότε λέγεται τέλειον εἶναι καὶ κατὰ φύσιν. Καὶ ὁ κύκλος, ὅταν τὰ ζητούμενα πρὸς τὴν φύσιν καὶ τὴν τελειότητα λάβῃ, τότε λέγεται κύκλος. Ἀλλοιοῦσθαι δὲ οὔ φαμεν τὴν οἰκίαν, ὅταν λαμβάνῃ θρίγκον, ἢ κεράμωσιν· ὥστε αἱ κατὰ τὴν ἀρετὴν τελειώσεις οὐσιώσεις μᾶλλόν εἰσι καὶ γενέσεις. Ἄλλως τε αἱ ἕξεις εἴτουν ἀρεταὶ καὶ κακίαι τῶν πρός τι εἰσίν· συμμετρία γάρ ἐστιν ἡ ἀρετή, ὡς ἡ ὑγεία θερμῶν καὶ ψυχρῶν, καὶ τὸ κάλλος μορίων συμμετρία· ἡ δὲ συμμετρία τῶν πρός τι, καὶ ἡ κακία ὁμοίως ἀσυμμετρία ἔν τε ταῖς ψυχικαῖς καὶ σωματικαῖς ἕξεσίν ἐστι καὶ τῶν πρός τι. Ἐν δὲ τοῖς πρός τι οὔτε ἀλλοιώσεις, | οὔτε γενέσεις εἶναι προδεδήλωται ἐν τῷ f. 185 ε΄ στοιχείῳ, ἀλλὰ γίνονται μέν, ἀλλοιουμένων τινῶν, αἱ τοιαῦται ἕξεις, ἀλλοιώσεις δὲ οὐκ εἰσίν· διατιθεμένου τε γάρ πως τοῦ σώματος, ἀκολουθοῦσιν ὑγεία καὶ κάλλος, καὶ ὅλως σχῆμα καὶ μορφή· ἀλλοιώσεις δὲ ταῦτα οὐκ εἰσί. Καὶ διατιθεμένου πως τοῦ παθητικοῦ τῆς ψυχῆς ὑπὸ ἡδονῆς καὶ λύπης, ἐπὶ τὸ βέλτιον ἢ ἐπὶ τὸ χεῖρον αἱ ἀρεταὶ καὶ κακίαι τῆς ψυχῆς γίνονται, καὶ ὅλως αἱ ἕξεις, ἀλλ᾽ οὐκ εἰσὶν ἀλλοιώσεις, εἰ καὶ ἐξ ἀλλοιώσεων γίνονται. Καὶ αἱ ἐπιστῆμαι ὁμοίως, ἀρεταὶ οὖσαι τοῦ λογικοῦ τῆς ψυχῆς, τῶν πρός τί τε εἰσίν (ἐπιστητῶν γάρ εἰσιν) καὶ οὐδεμιᾶς ἀλλοιώσεως ἐγγινομένης τῇ ψυχῇ γίνονται, ἀλλὰ τῇ πείρᾳ τῶν κατὰ μέρος καὶ τῶν ἐκ τῶν κατὰ μέρος ἐπὶ λογισμῷ τῶν καθόλου ἐπικτᾶται τὴν ἐπιστήμην ἡ ψυχή, ὥστε οὐκ εἰσὶν ἀλλοιώσεις οὔτε αἱ ἐπιστῆμαι αὗταί, οὔτε αἱ τούτων ἐνέργειαι, οὔτε κινήσεις εἰσίν, ὥσπερ οὐδὲ ἡ ἁφή, καὶ ἡ ὅρασις· οὐδὲ γὰρ χρονικῆς δέονται προόδου, ὡς πᾶσα κίνησις ἐν χρόνῳ ἐστίν.

Ὅτι ἡ ἐξ ἀρχῆς τῆς ἐπιστήμης λῆψις οὐκ ἔστι γένεσις οὐδ᾽ ἀλλοίωσίς τις ἐν τοῖς ἀνθρώποις· γίνεται γάρ, τῆς φύσεως ἠρεμιζομένης, τουτέστι πρὸς ἠρεμίαν χωρούσης. Ὅταν γὰρ ἀπαλλάττηται τῆς φυσικῆς ταραχῆς ὁ ἄνθρωπος, μηκέτι ἐνοχλούμενος ὑπὸ τῶν κατὰ φύσιν ἔτ᾽ ἐν ἀρχαῖς ὑβριζόντων παθῶν καὶ μήπω καταπεπαυμένων, τότε λέγεται ἄρχεσθαι ἐπίστασθαι καὶ συνορᾶν ἕκαστα, καὶ φρονίμη ἡ διάνοια αὐτοῦ γίνεσθαι καὶ ἐπιστήμων. Διὰ τοῦτο οὐδὲ τὰ παιδία δύνανται κρίνειν ταῖς αἰσθήσεσι καὶ μανθάνειν καὶ τῇ διανοίᾳ χρῆσθαι κατὰ τοὺς πρεσβυτέρους· πολλὴ γὰρ ἐν αὐτοῖς ἡ ταραχὴ καὶ ἡ κίνησις τῶν φυσικῶν καὶ ἄτακτος ἔτι. Τῆς γὰρ φύσεως εἰς τὸ τέλειον ἄγειν βουλομένης τὸ ζῷον, σφοδρότερον τηνικαῦτα αἱ φυσικαὶ κινοῦνται δυνάμεις θρεπτικαί, ἀλλοιωτικαί, αὐξητικαί, κἀντεῦθεν καὶ θᾶττον τότε προκόπτουσι τὰ ἔργα τῆς φύσεως· μᾶλλον γὰρ αὔξουσι τὰ παιδία, μᾶλλον πέττουσιν. Τῇ τοιαύτῃ

οὖν φυσικῇ ταραχῇ πολλῇ οὔσῃ ἐπικρύπτεται ἡ διάνοια. Ὅταν δὲ λοιπὸν ἄρξωνται καθίστασθαι καὶ μετριάζειν αἱ φυσικαὶ κινήσεις, τότε ἀναλάμπει ἡ τῶν ἐπιστημῶν δεκτικὴ δύναμις καὶ ἔοικε τὸ τοιοῦτον ὥσπερ ἂν εἴ τις f. 185v καθεύδων ἐγερθῇ, | ἢ μεθύων παύσηται, ἢ νοσῶν καταστῇ· οὐ γὰρ γίνεται τηνικαῦτα ἐπιστήμων, ἀλλὰ μὴ δυνάμενος πρότερον χρῆσθαι καὶ κατὰ τὴν ἐπιστήμην ἐνεργεῖν διὰ τὰ εἰρημένα πάθη, ἀπαλλαττόμενος τῆς ταραχῆς, καὶ τῆς διανοίας καθισταμένης, ἀναλαμβάνει τὴν τῆς ἐπιστήμης ἐνέργειαν. Ὡσαύτως καὶ τηναρχὴν ἐν τῇ ψυχῇ ἀπαλλαττομένῃ τῶν φυσικῶν ἐνοχλήσεων ἡ τῆς ἐπιστήμης ἕξις γίνεται. Καθίστανται δὲ καὶ παύονται τῆς ταραχῆς ταύτης ὁτὲ μὲν ὑπὸ τῆς φύσεως, αὐτῆς δηλονότι μόνης τελειουμένης, ὁτὲ δὲ καὶ ὑπ' ἄλλων ἔξωθεν ἐθῶν τε καὶ παιδαγωγῶν· τοῦτο δὲ οὐκ ἄνευ ἀλλοιώσεως γίνεται, τῶν ἐν τῇ φύσει κινητῶν εἰς τὸ βέλτιον καθισταμένων, ὥστε γίνεσθαι μὲν τὰς ἐπιστήμας δι' ἀλλοιώσεως, οὐ μὴν αὐτὰς εἶναι ἀλλοιώσεις.

Ὅτι τριπλῆς οὔσης τῷ γένει τῆς κινήσεως, ὡς προαποδέδεικται, κατὰ τὸ ποῦ, κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ ποσόν, οὐκ ἔστι πάσῃ κινήσει πᾶσα κίνησις συμβλητὴ κατὰ τὸ ἰσοταχὴς εἶναι δηλονότι, ἢ μή· Εἰ γάρ ἐστιν ἰσοταχὴς ἡτισοῦν κίνησις ἑτέρᾳ ἡτινιοῦν κινήσει, ἔσται ἡ ἐπὶ περιφεροῦς κίνησις τῇ ἐπ' εὐθείας ἴση, καὶ τὸ περιφερὲς ἴσον τῷ εὐθεῖ· ἔσται δὲ καὶ τὸ φέρεσθαι τυχὸν ἴσον τῷ θερμαίνεσθαι, ἅπερ οὐχ οἷόν τε εἶναι· ἐπὶ γὰρ τοπικῆς διαστάσεως τὸ ἴσον λέγεται, ἐπὶ καὶ ποιοῦ καὶ ἀλλοιώσεως τὸ ὅμοιον· οὐκ ἂν οὖν εἴη συμβλητὸν τὸ ἴσον τῷ ὁμοίῳ, καὶ τὸ πάθος τῷ μήκει. Δόξειεν ἂν οὖν, φησίν, εἰ καὶ μὴ ταῦτα, ἀλλὰ τὸν κύκλον καὶ τὴν εὐθεῖαν καὶ τὰς ἐπ' αὐτῶν φορὰς συμβλητὰς εἶναι. Καὶ καταγραφῇ τοῦτο συνίστησιν, ἀλλὰ καὶ αὖθις ἀνατρέπει, λέγων ὡς εἰ ταύτας τὰς κινήσεις λέγοι τις συμβλητάς, ἐξ ἀνάγκης ἀκολουθήσει συμβλητὸν εἶναι τὸν κύκλον τῇ εὐθείᾳ καὶ ἴσον ἐνίοτε τὸν κύκλον τῇ εὐθείᾳ, εἴ γε καὶ συμβλητός ἐστιν· τὸ γὰρ συμβλητὸν ἑτέρῳ τινὶ νῦν μὲν μεῖζον αὐτοῦ ἐστι, νῦν δὲ ἴσον, νῦν δὲ ἔλαττον· ἴσον δὲ λέγειν κύκλον εὐθείᾳ ἄτοπον· ἀσύμβλητα γὰρ κύκλος καὶ εὐθεῖα, ὥστε καὶ αἱ ἐπ' αὐτῶν κινήσεις ὁμοίως οὐ συμβληταί. Καθόλου γὰρ ἐπὶ τῶν ὁμωνύμως λεγομένων οὐκ ἔστι τὸ συμβλητόν, ἀλλ' ἐπὶ τῶν συνωνύμων· γραφεῖον μὲν γὰρ ὀξύτερον γραφείου λέγομεν, καὶ φθόγγου φθόγγον, καὶ οἶνον οἴνου· οἶνον δὲ ὀξύτερον γραφείου ἢ φθόγγου οὐκ ἔστιν εἰπεῖν. Εἰ δὲ τὸ πολὺ καὶ τὸ διπλάσιον τὸ αὐτὸ σημαῖνον ἐπὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος λέγεται, διαφόρων ὄντων, f. 186 | ἀλλ' εἰδέναι δεῖ, ὅτι τὸ πολὺ καὶ τὸ διπλάσιον ἐπὶ τούτων ὁμωνύμως λέγεται· ἄλλως γὰρ θεωροῦνται ἐπὶ τοῦ μεγέθους τοῦ ὑποκειμένου, καὶ ἄλλως ἐπὶ τῆς δυνάμεως αὐτοῦ κατὰ τὸν λόγον, εἰ καὶ ὁ αὐτός ἐστι λόγος πανταχοῦ τοῦ πολλοῦ καὶ αὐτοῦ διπλασίονος, καὶ οὐδὲν κωλύει ὁμωνύμως λέγεσθαί τι περί τινων καὶ κατὰ τὸν αὐτὸν λεγόμενον λόγον·

Ε.Υ.Ζώης, τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

λόγου γὰρ χάριν, τὸ ὑγιεινὸν ἑνός ἐστι λόγου, ὅτι τὸ συμμετρίαν ἔχον πρὸς ὑγείαν· καὶ τὸ φάρμακον τοίνυν καὶ τὸ γυμνάσιον, καὶ τὸ σιτίον ὑγιεινὸν ἂν λέγοιτο τῷ αὐτῷ τοῦ ὑγιεινοῦ λόγῳ, ἂν συμμετρίαν δηλονότι ἔχωσι πρὸς τὴν ὑγείαν, ἀλλ' ὅμως ὁμωνύμως ὑγιεινά ἐστιν, ὅτι τὸ μὲν φυλακτικὸν ὑγείας, τὸ δὲ ποιητικόν· οὕτω δὴ καὶ ἐπὶ τοῦ πολλοῦ καὶ διπλασίονος καὶ τῶν ὁμοίων, καὶ ὥσπερ τὸ ἓν ὁμωνύμως κατὰ τῶν τοῦ ὄντος γενῶν λέγεται, καίτοι γε εἷς ἐστιν ὁ τοῦ ἑνὸς λόγος, οὕτω καὶ τὸ πολὺ καὶ διπλάσιον, ἕνα λόγον ἁπλῶς ἔχοντα ἑκάτερον καὶ τὸν αὐτόν, ὅμως διαφέροντα ἔχουσι τοῦτον ἀποδιδόμενα τῷ ἀέρι καὶ τῷ ὕδατι, ἢ ἁπλῶς τῷ μεγέθει καὶ τῇ δυνάμει αὐτοῦ:

Δεῖ τοίνυν ἀκριβέστερον διοριζομένους οὐχ ἁπλῶς λέγειν τὰ συνώνυμα συμβλητά, ἀλλὰ καὶ ἐν τῷ αὐτῷ δεκτικῷ τῷ πρώτῳ, καὶ μὴ ἐν ἄλλῳ καὶ ἄλλῳ, οἷον ὁ κύων καὶ ὁ ἵππος λευκὰ καὶ συμβλητά εἰσιν ὡς λευκά· φαμὲν γὰρ τὸν κύνα τοῦ ἵππου λευκότερον τυχόν· ἀλλὰ κατὰ τὴν ἐπιφάνειαν πρώτως ἐστὶν αὐτοῖς τὸ λευκόν, καὶ διὰ τὴν ἐπιφάνειαν αὐτοῖς ὁμοίως καὶ κατὰ μέγεθος καὶ κατὰ τὰ ἄλλα δύνανται συμβλητὰ εἶναι ὁ κύων καὶ ὁ ἵππος. Ἀλλ' ὅταν λέγωμεν τὴν φωνὴν λευκὴν καὶ τὸ ὕδωρ, ἢ γλυκέα, ἐπεὶ μὴ ἔστιν ἐν αὐτοῖς τὸ αὐτὸ καὶ ἐν ᾧ πρώτως θεωρεῖται ταῦτα, ἡ ἐπιφάνεια δηλονότι ἢ τὸ μέγεθος, διὰ τοῦτο οὐ συμβλητά εἰσιν. Ἄλλως γὰρ θεωρεῖται τὸ λευκὸν ἐν τῷ ὕδατι, καὶ ἄλλως ἐν τῇ φωνῇ. Ἔτι, πρὸς μείζω ἀκρίβειαν, καὶ λύσιν ἀπορίας ἣν ἐπήγαγεν διορίζεται, ὡς οὐ μόνον δεῖ τὰ συμβλητὰ μὴ εἶναι ὁμώνυμα, ἀλλὰ καὶ πρὸς τούτῳ μὴ μόνον ὁμογενῆ εἶναι, ἀλλὰ μηδ' ἔχειν τινὰ διαφορὰν κατ' εἶδος, ἤτοι μὴ ὡς γένη θεωρεῖσθαι ἀλλὰ μάλιστα ὡς εἴδη καὶ μὴ ἔχοντα διαφορὰν μήτε κατὰ τὸ εἶδος, μήτε κατὰ τὸ δεκτικόν· οὐ γὰρ δεῖ λέγειν, ὅτι τόδε τοῦδε μᾶλλον κεχρωμάτισται, ἀλλὰ ὅτι τόδε τοῦδε λευκότερον ἢ μελάντερον παραβάλλονται. Ἐπεὶ τοίνυν διάφορα | τῆς κινήσεως εἰσὶν εἴδη, οὐχ ἁπλῶς f. 186v
οὕτω συμβάλλειν ἔστι κίνησιν κινήσει καὶ ὁμοταχῆ λέγειν, ἀλλὰ τὴν κατὰ τὸ αὐτὸ εἶδος θεωρουμένην καὶ κατὰ τὸ αὐτὸ ὑποκείμενον· ἓν γὰρ ἑνὸς δεκτικόν, καὶ εἰ ἕν ἐστι τὸ δεκτικὸν τῆς κινήσεως, ἓν εἶναι καὶ τὸ εἶδος δεῖ, καὶ τὸ ἀνάπαλιν, καὶ οὕτω κατὰ λόγον εἶναι συμβλητὰς τὰς οὕτως ἐχούσας ὡσαύτως κινήσεις. Πτῆσις δὲ καὶ βάδισις συμβληταί· εἰ γὰρ ἐστιν εὐθυφορία ἐπ' ἀμφοτέρων τῶν προβαδιζόντων καὶ ἱπταμένων, καὶ μόνον τῶν ὀργάνων τῆς κινήσεως ἡ διαφορά, ὅτι ἔνθα μὲν τισὶν ἡ φορά, ἔνθα δὲ πτεροῖς γίνεται, οὐ δεῖ τῶν ὀργάνων λόγον ποιεῖσθαι, ἑνὸς ὄντος τοῦ τῆς κινήσεως εἴδους.

Ὅτι τῶν ὁμωνύμων αἳ μέν εἰσι πόρρω, ὡς κύων ὁ ἀστὴρ καὶ τὸ χερσαῖον καὶ τὸ θαλάττιον ζῷον ὁμωνυμοῦσι λίαν κεχωρισμένα τῇ φύσει· αἳ δὲ ἐγγύς πω δι' ὁμοιότητα, ὥσπερ ἄνθρωπος, ὁ ζῶν, καὶ ὁ γεγραμμένος· αἳ δὲ ἔγγιστα ἢ γένει, ἢ ἀναλογίᾳ· γένει μέν, ὡς τὰ ἀφ' ἑνὸς